οὐρανοῦ λεγόντων ὡς διὰ σωλῆνος τῆς παρθένου τὸ τοῦ κυρίου διελθεῖν σῶμα, καὶ κατὰ τῶν δογματισθέντων ἐπ' ἀνατροπῇ τῶν τοῦ ἁγίου Κυρίλλου κεφαλαίων· ἐπὶ τῆς βασιλείας Μαρκιανοῦ καὶ Οὐαλεντινιανοῦ, οἳ ἐβασίλευσαν ἔτη κθ'. ἀπὸ δὲ τῆς γ' συνόδου ἕως τῆς δ' ἔτη δέκα.

ε'. Πέμπτη σύνοδος τῶν ρξε' ἁγίων πατέρων συνελθόντων ἐν τῇ Κωνσταντινουπόλει ἐπὶ Εὐτυχίου πατριάρχου κατὰ τοῦ ἀπονενοημένου Ὠριγένους καὶ τῶν κ' αὐτοῦ αἱρέσεων τοῦ τε Εὐαγρίου καὶ Διδύμου μετεμψυχώσεις καὶ ἀποκατάστασιν λεγόντων καὶ τέλος τῆς κολάσεως καὶ ἀποκατάστασιν τῶν δαιμόνων καὶ ἄλλα πλείονα καὶ τὸ πλεῖστον διὰ τὰς τῶν ἐν τῇ ἁγίᾳ πόλει μοναζόντων ταραχὰς καὶ ἀποσχισμοὺς ἃς οἱ βίοι τῶν ἁγίων Σάβα καὶ Εὐθυμίου διαγορεύουσιν· καὶ διὰ τὸ ἔγγραφον ἴδικτον Ζήνωνος τὸ ἐπ' ἀνατροπῇ τῆς ἐν Χαλκηδόνι συνόδου. ἐπὶ βασιλείας Ἰουστινιανοῦ, ὃς ἐβασίλευσεν ἔτη λη' καὶ μῆνας ἑπτά.

ἀπὸ δὲ τῆς δ' συνόδου ἕως τῆς ε' ἔτη ρ'.

ς'. Ἕκτη σύνοδος τῶν ρο' ἁγίων πατέρων ὡσαύτως συναθροισθέντων κατὰ ταύτην τὴν θεοφύλακτον καὶ βασιλεύουσαν πόλιν ἐπὶ Γεωργίου πατριάρχου κατὰ Σεργίου Παύλου Πύρρου τῶν Κωνσταντινουπόλεως ἐπισκόπων οἳ ἐπὶ Χριστοῦ τοῦ θεοῦ ἡμῶν ἓν θέλημα λέγειν καὶ μίαν ἐνέργειαν θείαν καὶ οὐκ ἀνθρωπίνην καὶ μετὰ τὴν ἐνανθρώπησιν ἐπρέσβευον· ἐπὶ βασιλέως Κωνσταντίνου ἐγγόνου Ἡρακλείου, ὃς ἐβασίλευσεν ἔτη ιζ', τῷ ιγ' ἔτει τῆς αὐτοῦ βασιλείας.

ἀπὸ δὲ τῆς ε' συνόδου ἕως τῆς ς' ἔτη ρλ'.

ζ'. Ἑβδόμη σύνοδος τῶν τν' ἁγίων πατέρων ἐπὶ Ταρασίου πατριάρχου συναθροισθεῖσα ἐν Νικαίᾳ τὸ β' κατὰ τῶν ἀσεβῶν εἰκονομάχων τῶν πᾶσαν τὴν οἰκονομίαν διὰ τῆς ἀνατροπῆς τῶν σεβασμίων εἰκόνων ἀναιρούντων. γέγονεν ἡ σύνοδος ἐπὶ βασιλέως Κωνσταντίνου καὶ Εἰρήνης ⟨τῆς⟩ μητρὸς αὐτοῦ ἐν ἔτει κ' τῆς βασιλείας αὐτοῦ.

ἀπὸ δὲ τῆς ς' συνόδου ἕως τῆς ζ' ἔτη ρκβ'.

δεῖ δὲ εἰδέναι ὅτι ἡ ζ' σύνοδος γέγονεν ἐν ἔτει ͵ςτε'.

ἀπὸ δὲ τοῦ σωτῆρος ἡμῶν θεοῦ ἔτους ωε' (1). Ἰστέον ὅτι ἀπὸ τῆς α' συνόδου ἕως τῆς β' παρῆλθον ἔτη ν' καὶ ς'.

ἀπὸ δὲ τῆς β' ἄχρι τῆς γ', ν'.

ἀπὸ δὲ τῆς γ' ἕως τῆς δ', λ'.

ἀπὸ δὲ τῆς δ' ἄχρι τῆς ε', ρ' καὶ β'.

ἀπὸ δὲ τῆς ε' ἕως τῆς ς', ρκθ'.

ἀπὸ δὲ τῆς ς' ἄχρι καὶ τῆς ζ', ρκβ'. ὁμοῦ τὰ πάντα υπ' καὶ [θ'] (2).

Quaestio de annorum intervallis, inter singula concilia oecumenica computatis, ad historiam non solum versionis slavicae Breviarii, qui Nicephori patr. CP.

(1) Haec computatio intervallorum nobis porro A erit.

(2) Dolendum mihi est, computationem intervallorum e cod. Paris. 1302 saec. XIII f. 24, ad calcem narrationis de VII conc. oecum. positam, non exscripsisse, quae ita se habet initio et fine: Ἀπὸ τῆς Χριστοῦ γεννήσεως ἕως... ὁμοῦ ἀπὸ τῆς Χριστοῦ γεννήσεως ἕως τῆς ἑβδόμης συνόδου ἔτη ψπγ'.